www.tezaurliturgic.ro

+

## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΝΕΟΜΑΡΤΥΡΑ

# ΑΝΑΣΤΑΣΙΟΝ
# ΤΟΝ ΕΝ ΠΑΡΑΜΥΘΙΑ

**(οὗ ἡ μνήμη τῇ 18ῃ Νοεμβρίου)**

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
* 1997 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro






**ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ**
**ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΕΟΜΑΡΤΥΡΑ ΑΝΑΣΤΑΣΙΟΝ**
**ΤΟΝ ΕΝ ΠΑΡΑΜΥΘΙΑ**

* * *

Εὐλογητός, Κύριε εἰσάκουσον, Θεὸς Κύριος καὶ τὸ
Τροπάριον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῆς ἀναστάσεως λαμπρὸς υἱὸς πέλων, οὐκ ἐπτοήθης τοῦ θανάτου τὸ θράσος, ἀλλὰ γενναίως ἤθλησας αἰσχύνας τὸν ἐχθρόν· τῷ σταυρῷ ὑπέταξας, ἡμισέληνον Ἄγαρ, θεῖε Ἀναστάσιε, τῇ σοφῇ σου ἐνστάσει, Νεομαρτύρων κλέος γεγονώς, παραμυθῶν δέ, τοὺς πίστει σε μέλποντας.

Δόξα, Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σὺ σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν', Ἐλέησόν με ὁ Θεός...
**μεθ᾽ ὃν ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*"Μάρτυς Ἀναστάσιε, δεήσεώς μου πρόσχες. Ἀ(θανάσιος)".*

Ὠιδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Μαρτύρων τὸ στέφος ἀναδηθείς, παράκλησις θεία, τοῖς πιστεύουσιν ἀθλητά, ἐγένου διό σοι μετὰ πόθου, ἱκετικῶς προσπελάζομεν Ἅγιε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀνάστησον μάρτυς σοὺς ὑμνητάς, ἐκ πτώσεως πάσης, καὶ ἀξίωσον σαῖς εὐχαῖς, τηρῆσαι ἐν πάσῃ εὐλαβείᾳ, τὴν πρὸς Χριστὸν ἐκ ψυχῆς ἀφοσίωσιν.

Ῥυσάμενος Μάρτυς σὴν ἀδελφήν, ἐκ τῶν μισοάγνων, ῥῦσαι πάντας τοῦ πονηροῦ, ποθοῦντος ἡμᾶς καταμολῦναι, ἁγνὴν τηροῦντας ψυχὴν τὴν θεόπλαστον.

Θεοτοκίον

Τοῦ ὄφεως θῦμα πρώτη γυνή, ἐγένετο Κόρη, ἧς τὸ πτῶμα θεοπρεπῶς, ἀνήγειρας τόκῳ σου τῷ θείῳ, Ὃν ἐξιλέου ἡμῖν τοῖς ὑμνοῦσί σε.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ὕλης πᾶσαν πατήσας, ἀπὸ ψυχῆς πρόκλησιν, θεῖε Ἀναστάσιε ὤφθης, ἄλλος τις ἄγγελος, μόνον τὰ μένοντα, ἐπιποθῶν ὅθεν μάρτυς, ὕλης με ἀνώτερον δεῖξον τὸν ἄθλιον.

Σταθηρὰν ἔχων γνώμην, τῆς ἀληθοῦς πίστεως, γέγονας κλεινὸς θεολόγος, ὦ Ἀναστάσιε, καὶ ἐμυκτήρισας, τοῦ διαβόλου τὴν πλάνην, ἥν με καταξίωσον, πατεῖν ἀείποτε.

Ἄνω ἦρας καρδίαν, καταφρονῶν πάντιμε, ἄνθος τῆς νεότητος, κάλλη, πλοῦτον τὸν ῥέοντα, καὶ συνεσταύρωσαι, τῷ Ἰησοῦ Νεομάρτυς, Ὧι κἀμὲ συσταύρωσον, τὸν ζωοθάνατον.

Θεοτοκίον

Νικηφόρον με δεῖξον, κατὰ παθῶν Ἄχραντε, τὸν ἀεὶ ἡττώμενον τούτων, ταῖς ἐπικλύσεσι, καὶ τὴν ἀπάθειαν, δός μοι ταῖς θείαις εὐχαῖς σου, ἵνα εὕρω Πάναγνε, τὴν σωτηρίαν μου.

Διάσωσον, τοὺς σὲ τιμῶντας κλεινὲ Νεομάρτυς, τῶν τοῦ βίου δεινῶν περιστάσεων, καὶ δίδου λύσιν ἀχθηρῶν, πρὸς Χριστὸν μεσιτεύων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Τῆς Ἄγαρ καλῶς, τὴν πλάνην ἐναπέπνιξας, δειχθεὶς στηριγμός, πιστῶν Ἀναστάσιε, χορηγῶν τὴν ἴασιν, ταῖς ψυχαῖς τε ἡμῶν καὶ τοῖς σώμασι, εὐχαῖς σου μάρτυς ταῖς σεπταῖς, πρὸς τὸν Κύριον ἀείποτε.

Ὠιδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἀκατάβλητον φρόνημα, ἔχων πρὸ τυράννων καλῶς ἐνήθλησας, ὅθεν μάρτυς Ἀναστάσιε, δὸς ἡμῖν καρδίας γενναιότητα.

Σύντριψόν μοι ἀντίδικον, τὸν ψυχὴν ὀλέσαι ἐπιποθοῦντα μου, ἵνα μάρτυς Ἀναστάσιε, ἐλευθερωθεὶς ἀνευφημήσω σε.

Τοὺς ὀδόντας τοῦ δράκοντος, ἔθλασας γενναίως Μάρτυς ἀήττητε, ὃν ὁρμῶντα μοι κατάβαλε, καὶ ταῖς σαῖς εὐχαῖς αὐτὸν κατάδησον.

Θεοτοκίον

Ἀκατάφλεκτος ἔμεινας,πῦρ δεχθεῖσα Μῆτερ τὸ τῆς Θεότητος, ὅθεν φύλαξον δεόμεθα, καὶ ἡμᾶς πυρὸς τοῦ τῆς κολάσεως.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Σκότους ζοφεράν, πλάνην μάρτυς Ἀναστάσιε, ὡς διέλυσας ἀθλήσει σου στεῤῥᾷ, ἐκδιώξαις, ἐκ ψυχῶν τῶν πόθῳ γεραιρόντων σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἴασαι ψυχῶν, καὶ σωμάτων ἄλγη Ἅγιε, ἐκδυσωπούμενος Χριστὸν τὸν Ἰατρόν, Οὗ τῆς ἀγάπης, θῦμα ὤφθης ὁλοκάρδιον.

Ἔκτεινον Χριστῷ, τὰς σὰς χεῖρας Ἀναστάσιε, παραμυθῶν τοὺς καταπίπτοντας ἀεί, νόσοις ποικίλαις, καὶ τοῦ βίου περιστάσεσι.

Θεοτοκίον

Δέομαι Ἁγνή, τῆς ψυχῆς μου σκότος δίωξον, ὅπως κατίδω νοερῶς τὸ φῶς Χριστοῦ, καὶ μὴ προσκόψω, ἁμαρτίας λίθῳ Πάναγνε.

Ὠιδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ.

Ἐχάρησαν, τῶν Μαρτύρων τάγματα, ἀθληφόρε Ἀναστάσιε ὅτε, στέφος λαμπρόν, ἀνεδήθης ἀξίως, καὶ Βασιλείας Χριστοῦ ὤφθης μέτοχος· ἀξίωσον οὖν καὶ ἡμᾶς, μετασχεῖν ταύτης πάντας πρεσβείαις σου.

Ἠλόγησας, Νεομάρτυς ἔνδοξε, τῶν φθαρτῶν καὶ ἐπικήρων τοῦ βίου, διὰ Χριστοῦ, τὸν ἀνέκλειπτον πλοῦτον, ὃν χορηγεῖ τοῖς ποθοῦσι τὰ μέλλοντα, διὸ ἀνάδειξον αὐτοῦ, καὶ ἡμᾶς κληρονόμους φιλάδελφε.

Στερέωσον, διανοίας ἅγιε, Ἀναστάσιε ἡμῶν κλονουμένας, ἐκ τῶν πικρῶν, συμβαινόντων τοῦ βίου, καὶ τὴν εἰρήνην ἀτάραχον πάρεχε, καρδίαις τῶν ἀπὸ ψυχῆς, αἰτουμένων θερμὴν μεσιτείαν σου.

Θεοτοκίον

Ἐπάκουσον, Παναγία Δέσποινα, τῶν αἰτούντων μητρικήν σου πρεσβείαν, ἔχεις καὶ γάρ, παῤῥησίαν μεγίστην, πρὸς τὸν Υἱόν σου ὡς τοῦτον κυήσασα, καὶ πάντοτε ἱκετικῶς, ἐξισχύεις ἡμῖν τὰ ἀδύνατα.

Διάσωσον, τοὺς σὲ τιμῶντας κλεινὲ Νεομάρτυς, τῶν τοῦ βίου δεινῶν περιστάσεων, καὶ δίδου λύσιν ἀχθηρῶν, πρὸς Χριστὸν μεσιτεύων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Ἡδονῶν τῶν προσκαίρων ἠλόγησας, τῷ πυρὶ τοῦ Χριστοῦ πυρπολούμενος, ὅθεν ξίφους, μαρτυρικοῦ ἐδέξω τὴν φοράν, δι᾽ οὗ, εἴληφας ἀθλητικῶς, ὦ ᾽Αναστάσιε σοφέ, τὸν ἀμάραντον στέφανον· πρέσβευε οὖν τρισμάκαρ, ὅπως ἀεὶ τηρῶμεν, οἱ σὲ τιμῶντες ἐκ ψυχῆς, τὴν ἀγάπην πρὸς τὸν Κύριον.

Προκείμενον. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος. *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς αὐτοῦ ἐξανθήσει.*

## ΕΥΑΓΓΕΛΙΟΝ

*᾽Εκ τοῦ κατὰ Λουκᾶν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. ᾽Επιβαλοῦσι γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. ᾽Αποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα.*



ΛΟΘΟΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νεομάρτυρός σου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*καὶ τὸ προσόμοιον.*
Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Ὄντως Ἀναστάσιος κατὰ τὴν κλῆσίν σου ὤφθης, νεομάρτυς ἔνδοξε, πλάνην τὴν ψυχώλεθρον, πνίξας αἵμασι, ἃ προθύμως ἔχυσας, ὑπὲρ τοῦ Δεσπότου, Ὃν ἀεὶ θερμῶς ἱκέτευε, ὦ γενναιόψυχε, ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου· καὶ γὰρ πολλοῖς ἐν πάθεσι, κείμεθα καὶ νόσοις οἱ ἄθλιοι. Ὅθεν μὴ ἐλλείπης, ἡμᾶς παραμυθεῖν εὐχητικῶς, καὶ πῦρ ἀνάπτειν τῆς πίστεως, ταύτης ὡς ὑπέρμαχος.

*Σῶσον ὁ Θεός…*

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὤφθη ζεῦγος Ἀγγέλων, ἐνισχῦον σε Μάρτυς εἰς τὴν εὐσέβειαν, ἐν φυλακῇ σου ὄντος, ὃ καὶ Μουσᾶς κατεῖδε, καὶ ἐπλήσθη συνέσεως, μεθ᾽ οὗ βοῶμεν Χριστῷ, ἀεὶ εὐλογητὸς εἶ.

Σωτηρίας ἐγένου, τῷ Μουσᾶ Ἀναστάσιε θεῖος πρόξενος, διδάξας ἀληθείας, Χριστοῦ κεφαλαιώδη, καὶ χρειώδη ἐντάλματα, ἐν οἷς τὸν βίον κἀμέ, ἰθύνειν ἀξιώσαις.

Μὴ ἐκκλίνας θωπείαις, καὶ γλυκέσι τυράννου Μάρτυς προσρήσεσι, τὸ ξίφος ἔσχες κλῆρον, δι᾽ οὗ πρὸς τὸν Δεσπότην, ἀνελήλυθας εὔδρομος, Ὃν ἐξιλέου ἀεί, ὑπὲρ τῶν σὲ τιμώντων.

Θεοτοκίον


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οὐρανὸν δεῖξον Μῆτερ, τὴν ψυχήν μου καθάπερ ἀστέρας ἔχοντα, πληθὺν τῶν χαρισμάτων, ἃ δίδωσι Υἱός σου καὶ παμπόθητος Κύριος, τοῖς εὐλογοῦσιν Αὐτόν, εἰς πάντας τοὺς αἰῶνας.

## Ὠιδὴ η'. Τὸν Βασιλέα.

Ὑπαίθριόν σου, καταλείψας τὸ σκῆνος, ὁ ὠμότατος τύραννος τρισμάκαρ, εἶδεν οὐρανόθεν, τὸ φῶς σε περιλάμψαν.

Παραμυθία, γεγονὼς σῇ πατρίδι, Ἀναστάσιε θεῖε νεομάρτυς, πάντας μὴ ἐλλείπῃς, προσπίπτοντάς σοι σῴζειν.

Ῥοαῖς δακρύων, τὴν σὴν θήκην κυκλοῦντες, ἐξαιτούμεθα δυσχερῶν τὴν λύσιν, καὶ ψυχαῖς εἰρήνην, ὦ θεῖε Νεομάρτυς.

## Θεοτοκίον

Ὁ χρόνος Μῆτερ, τῆς ἐπὶ γῆς παροικίας, καθ᾽ ἡμέραν συντέμνεται ἀκάρπως, ὅθεν ἔγκαρπόν με, δεῖξον πρὶν τῆς θανῆς μου.

## Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.

Στερέωσον νοός μου, θεῖε Νεομάρτυς, τοὺς λογισμοὺς ὀλισθαίνοντας πάντοτε, καὶ ἐν Χριστοῦ τῇ ἀγάπῃ, τούτους καθήλωσον.

Χαρίτωσον τὸν βίον, θείας σου πρεσβείαις, τῶν γεραιρόντων σεπτὸν σου μαρτύριον, καὶ ἐκζητούντων σὴν χάριν, ὦ Ἀναστάσιε.

Ἐνίσχυσον καρδίας, τὰς συνεχομένας, βιοτικαῖς περιστάσεσιν Ἅγιε, καὶ παραμύθησον ταύτας, τῇ μεσιτείᾳ σου.

Σωμάτων ἀσθενείας, καὶ ψυχῶν τὰ πάθη, δίωξον μάρτυς κλεινὲ Ἀναστάσιε, ἵνα γεραίρωμεν πόθῳ, τοὺς θείους ἄθλους σου.

## Θεοτοκίον

Ἀνάνηψον ψυχή μου, ἐκ τῆς ῥαθυμίας, καὶ πρὸς Χριστὸν ὅσον τάχει ἐπίστρεψον, Παραμυθίαν Μητέρα, Αὐτοῦ κατέχουσα.

*Ἄξιόν ἐστιν....καὶ τὰ*

## Μεγαλυνάρια

(τὸ παρὸν παλαιόν)

Τῆς Παραμυθίας τερπνὸς βλαστός, καὶ πάσης Ἠπείρου, νέον κλέος ὤφθης σοφέ, ὅθεν σου τὴν μνήμην, τελοῦμεν τὴν ἁγίαν, χαρμονικῶς τιμῶντες, σὲ Ἀναστάσιε.

Λάμψον ταῖς καρδίαις σῶν ὑμνητῶν, θεῖε Νεομάρτυς, τῷ φωτὶ τῷ χαροποιῷ, ὅπερ λείψανόν σου, κατέλουσε πλουσίως, καὶ δίωξον τὰ νέφη, παθῶν τὰ μέλανα.

Θείας Ἀναστάσεως γεγονώς, καὶ υἱὸς καὶ μάρτυς, Ἀναστάσιε θαυμαστέ, πάντων τὰς καρδίας, τῶν σὲ τιμώντων πόθῳ, ἀνάστησον πρεσβείαις, ταῖς θεοδέκτοις σου.

*Πᾶσαι τῶν Ἀγγέλων...*

*Εἰς δὲ τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὥσπερ νοητοὶ ἀγαρηνοί, οἱ ἐχθροὶ ἡμῶν ἀπαιτοῦσι τοῦ ἀπολέσαι ψυχάς, μάρτυς Ἀναστάσιε, Παραμυθίας βλαστέ, ὑποσχόμενοι μάταια, τρυφὴν τὴν τοῦ κόσμου, δόξαν τε τὴν πρόσκαιρον, καὶ σαρκικὰς ἡδονάς· ὅθεν σοῦ δεόμεθα μάκαρ, πρόφθασον εὐχαῖς σου ἁγίαις, καὶ ἠπορημένους παραμύθησον.

*Δέσποινα πρόσδεξαι.*
*Τὴν πᾶσαν ἐλπίδα μου.*

www.tezaurliturgic.ro


*Δι᾿ εὐχῶν.*

Στίχοι

*Ἄγαρ νοητὴν κατάσφαξόν μοι τάχει,*
*Ἀναστάσιε, παραμυθῶν με ἅμα.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ